# E08.13 Aichylos‘ Perser – 3. Epeisodion C 782-851

Ξέρξης δ’ ἐμὸς παῖς ὢν νέος νέα φρονεῖ,
κοὐ μνημονεύει τὰς ἐμὰς ἐπιστολάς·
εὖ γὰρ σαφῶς τόδ’ ἴστ’, ἐμοὶ ξυνήλικες,
ἅπαντες ἡμεῖς, οἳ κράτη τάδ’ ἔσχομεν,
οὐκ ἂν φανεῖμεν πήματ’ ἔρξαντες τόσα.
*787*
**Χορός**
τί οὖν, ἄναξ Δαρεῖε, ποῖ καταστρέφεις
λόγων τελευτήν; πῶς ἂν ἐκ τούτων ἔτι
πράσσοιμεν ὡς ἄριστα Περσικὸς λεώς;
**Δαρεῖος**
εἰ μὴ στρατεύοισθ’ ἐς τὸν Ἑλλήνων τόπον,
μηδ’ εἰ στράτευμα πλεῖον τὸ Μηδικόν.
αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει.
**Χορός**
πῶς τοῦτ’ ἔλεξας, τίνι τρόπῳ δὲ συμμαχεῖ;
**Δαρεῖος**
κτείνουσα λιμῷ τοὺς ὑπερπόλλους ἄγαν.
**Χορός**
ἀλλ’ εὐσταλῆ τοι λεκτὸν ἀροῦμεν στόλον.
**Δαρεῖος**
ἀλλ’ οὐδ’ ὁ μείνας νῦν ἐν Ἑλλάδος τόποις
στρατὸς κυρήσει νοστίμου σωτηρίας.
**Χορός**
πῶς εἶπας; οὐ γὰρ πᾶν στράτευμα βαρβάρων
περᾷ τὸν Ἕλλης πορθμὸν Εὐρώπης ἄπο;
**Δαρεῖος**
παῦροι γε πολλῶν, εἴ τι πιστεῦσαι θεῶν
χρὴ θεσφάτοισιν, ἐς τὰ νῦν πεπραγμένα
βλέψαντα· συμβαίνει γὰρ οὐ τὰ μέν, τὰ δ’ οὔ.
κεἴπερ τάδ’ ἐστί, πλῆθος ἔκκριτον στρατοῦ
λείπει κεναῖσιν ἐλπίσιν πεπεισμένος.
μίμνουσι δ’ ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς
ἄρδει, φίλον πίασμα Βοιωτῶν χθονί·
οὗ σφιν κακῶν ὕψιστ’ ἐπαμμένει παθεῖν,
ὕβρεως ἄποινα κἀθέων φρονημάτων·
οἳ γῆν μολόντες Ἑλλάδ’ οὐ θεῶν βρέτη
ᾐδοῦντο συλᾶν οὐδὲ πιμπράναι νεώς·
βωμοὶ δ’ ἄιστοι, δαιμόνων θ’ ἱδρύματα
πρόρριζα φύρδην ἐξανέστραπται βάθρων.
τοιγὰρ κακῶς δράσαντες οὐκ ἐλάσσονα
πάσχουσι, τὰ δὲ μέλλουσι, κοὐδέπω κακῶν
κρηνὶς ἀπέσβηκ’ ἀλλ’ ἔτ’ ἐκπιδύεται.
τόσος γὰρ ἔσται πέλανος αἱματοσφαγὴς
πρὸς γῇ Πλαταιῶν Δωρίδος λόγχης ὕπο·
θῖνες νεκρῶν δὲ καὶ τριτοσπόρῳ γονῇ
ἄφωνα σημανοῦσιν ὄμμασιν βροτῶν
ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν.
ὕβρις γὰρ ἐξανθοῦσ’ ἐκάρπωσεν στάχυν
ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος.
τοιαῦθ’ ὁρῶντες τῶνδε τἀπιτίμια
μέμνησθ’ Ἀθηνῶν Ἑλλάδος τε, μηδέ τις
ὑπερφρονήσας τὸν παρόντα δαίμονα
ἄλλων ἐρασθεὶς ὄλβον ἐκχέῃ μέγαν.
Ζεύς τοι κολαστὴς τῶν ὑπερκόμπων ἄγαν
φρονημάτων ἔπεστιν, εὔθυνος βαρύς.
πρὸς ταῦτ’ ἐκεῖνον, σωφρονεῖν κεχρημένον,
πινύσκετ’ εὐλόγοισι νουθετήμασιν,
λῆξαι θεοβλαβοῦνθ’ ὑπερκόμπῳ θράσει.
σὺ δ’, ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη,
ἐλθοῦσ’ ἐς οἴκους κόσμον ὅστις εὐπρεπὴς
λαβοῦσ’ ὑπαντίαζε παιδί. πάντα γὰρ
κακῶν ὑπ’ ἄλγους λακίδες ἀμφὶ σώματι
στημορραγοῦσι ποικίλων ἐσθημάτων.
ἀλλ’ αὐτὸν εὐφρόνως σὺ πράυνον λόγοις·
μόνης γάρ, οἶδα, σοῦ κλύων ἀνέξεται.
ἐγὼ δ’ ἄπειμι γῆς ὑπὸ ζόφον κάτω.
ὑμεῖς δέ, πρέσβεις, χαίρετ’, ἐν κακοῖς ὅμως
ψυχῇ διδόντες ἡδονὴν καθ’ ἡμέραν,
ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ.
*843*
**Χορός**
ἦ πολλὰ καὶ παρόντα καὶ μέλλοντ’ ἔτι
ἤλγησ’ ἀκούσας βαρβάροισι πήματα.
**Ἄτοσσα**
ὦ δαῖμον, ὥς με πόλλ’ ἐσέρχεται κακὰ
ἄλγη, μάλιστα δ’ ἥδε συμφορὰ δάκνει,
ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι
ἐσθημάτων κλύουσαν, ἥ νιν ἀμπέχει.
ἀλλ’ εἶμι, καὶ λαβοῦσα κόσμον ἐκ δόμων
ὑπαντιάζειν παιδί μου πειράσομαι.
οὐ γὰρ τὰ φίλτατ’ ἐν κακοῖς προδώσομεν.